11-06-2021 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΜΕΤΑ ΤΗΝ ΑΝΑΛΗΨΗ

† Μνήμη Παναγίας Ἄξιον Ἐστί.

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος πλ. α΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Παρθένε Θεοτόκε τοῦ κόσμου προστασία, καὶ χριστιανῶν ὀρθοδόξων, μεσίτρια καὶ σκέπη, προσδέχου τὴν δέησιν ἡμῶν, καὶ ταύτην προσάγαγε Χριστῷ, τῷ Υἱῷ σου καὶ Σωτῆρι ἡμῶν Θεῷ. Ὢ Ἄξιόν ἐστι ψάλλειν· δόξα τῷ ἐν Εἰκόνι τῇ σεπτῇ, ὡς βρέφος ἐν δεξιᾷ τῆς Μητρός, προσκυνουμένῳ καὶ εὐλογοῦντι ἡμᾶς..

Δόξα Πατρί...Ἕτερον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὠδήν σου μιμούμενοι ἀγαλλιῶμεν φαιδρῶς, καὶ σὲ μεγαλύνομεν Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ἡμεῖς οἱ ἀνάξιοι, ὅθεν σὺν τῷ Ἀγγέλῳ, Θεοτόκιον ὕμνον, ψάλλομεν ἐκ βαθέων, μακαρίζειν μαθόντες, ὡς Ἄξιόν ἐστι ἀειμακάριστε.

Καὶ νῦν...

Ἀπολυτίκιον τῆς ἑορτῆς

Ἦχος δ΄

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄Στιχολογίαν

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἀπὸ καρδίας μου, λόγον ἐρεύξομαι, ἵνα ὑμνήσω σε, τὴν ἀειπάρθενον, τοῦ Βασιλέως ἐκλεκτὴν τῷ κάλλει διαλάμπουσαν, ἄκουσον δὲ Θύγατερ, κλῖνον οὖς σου εὐήκοον, ὅτι Ἄξιόν ἐστι μακαρίζειν καὶ ψάλλειν σοι· Μεγάλη σου ἡ δόξα Παρθένε, Χαῖρε ἡ Κεχαριτωμένη.

Δόξα Πατρὶ...Καὶ νῦν..

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα τῆς Ἑορτῆς

Ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς

Ἐπὶ τοῦ ὄρους ἀνελθὼν τοῦ Ἐλαιῶνος, ὁ ἐλεήμων Ἰησοῦς, αὐτόθεν ἤρθης· φωτεινὴ γὰρ νεφέλη ἐκ γῆς σε ὑπέλαβεν, ὁρώντων τῶν Μαθητῶν σου θαῦμα

φρικτόν, βοώντων τῶν Ἀσωμάτων ἐν οὐρανοῖς. Φόβῳ πύλαι ἐπάρθητε, ταῖς ἀνωτέραις στρατιαῖς, μεθ᾽ ὧν σε Βασιλέα ὑμνεῖ, πᾶσα κτίσις, τὸν πάντων Θεόν.

Μετὰ τὴν β´ Στιχολογίαν

Ἦχος δ´.

Κατεπλάγη Ἰωσήφ.

Ἐν ἀγκάλαις τῆς Μητρός, Υἱὸς Θεοῦ ὁ σαρκωθείς, προσηνέχθη τῷ Ναῷ, καθάπερ οἴκῳ τοῦ Πατρός, καὶ Συμεὼν ὑπεδέξατο ὁ πρεσβύτης, στέργειν τελευτᾶν, ἑωρακὼς τὸν Χριστόν, ὡς ἦν αὐτῷ γνωστὸν ὑπὸ τοῦ Πνεύματος, χρηματισμὸν ὡς ἔλαβε μηνῦσαι, πτῶσιν πολλῶν καὶ Ἀνάστασιν, δόξα Κυρίου, φῶς ἐν τῷ κόσμῳ, ἐφάνη ὡς Ἄξιόν ἐστι.

Δόξα Πατρί...Καὶ νῦν..

Μετὰ τὴν β´ Στιχολογίαν,

Κάθισμα τῆς Ἑορτῆς

Ἦχος πλ. δ´.

Τὴν Σοφίαν καὶ Λόγον

Ἐπιβὰς ἐν νεφέλαις τῶν οὐρανῶν, καταλείψας εἰρήνην τοῖς ἐπὶ γῆς, ἀνῆλθες καὶ ἐκάθισας, τοῦ Πατρὸς δεξιόθεν, ὡς ὁμοούσιος τούτῳ, ὑπάρχων καὶ Πνεύματι· ἐν σαρκὶ γὰρ ὤφθης, ἀλλ´ ἄτρεπτος ἔμεινας· ὅθεν ἀναμένεις, συντελείας τὸ πέρας, τοῦ κρῖναι ἐρχόμενος, ἐπὶ γῆς κόσμον ἅπαντα. Δικαιοκρίτα Κύριε, φεῖσαι τῶν ψυχῶν ἡμῶν, τῶν πταισμάτων ἄφεσιν δωρούμενος, ὡς Θεὸς ἐλεήμων τοῖς δούλοις σου.

Μετὰ τὸν Πολυέλεον

Ἦχος πλ. δ´ Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν πτωχείαν ὡς σύζυγον εἰληφώς, ἐν τῷ βίῳ σου πλήθη τοῦ σοῦ λαοῦ, τοῖς θείοις σοῦ ῥήμασι, καὶ τροφαῖς ὄντως ἔθρεψας, ὡς σιτοδότης μέγας, σαρκὸς καὶ τοῦ Πνεύματος, ἐν τῇ Ρωσίᾳ πάσῃ, Λουκᾶ ἀξιάγαστε· Ὅθεν οἰκονόμος, τῶν πιστῶν ἀνεδείχθης, ἰθύνων τὴν ποίμνην σου, ἀσφαλῶς πρὸς τὰ κρείττονα, καὶ πρὸς ὅρμον σωτήριον. Ἀλλ᾽ ἄνερ θεοφώτιστε νῦν, ταῖς λιταῖς σου Χριστὸν καθικέτευε, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν ἁγίαν μνήμην σου.

Δόξα Πατρί... Καὶ νῦν...

Μετὰ τὸν Πολυέλεον.

Κάθισμα.

Ἦχος πλ. α´. Χαῖρε πύλη Κυρίου.

Τοῦ Ἀγγέλου τῷ ῥήματι πειθαρχήσαντες, ἐν τῷ τόπῳ τοῦ Ἄδειν αὐτοῖς λαλήσαντος, οἱ ἐν τῷ Ὄρει τῷ Ἁγίῳ μονάζοντες, καὶ ὡς Ἄξιόν ἐστι τὴν Θεοτόκον οἱ πιστοί, διδάξαντος μακαρίζειν, Τιμιωτέραν εἰδότες, τῶν Χερουβὶμ ἐμεγάλυνον.

Τὸ α´Ἀντίφωνον τοῦ δ´ ἤχου.

Ἀντίφωνον Α´.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον
Ἦχος δ'

Μνησθήσομαι τοῦ ὀνόματός Σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
(δὶς)

Στίχ. Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ Πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.

Μνησθήσομαι τοῦ ὀνόματός Σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου
Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον
Ἐκ τοῦ κατὰ

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν' Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον' καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρί... Ἦχος β'

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος β'.

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου Κύριε, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη, καὶ ὑπὲρ λαοῦ πρεσβεύουσα ἡμαρτηκότος καὶ ἀπεγνωσμένου. Ταύτῃ ἐκβοήσωμεν ὡς ὁ Ἄγγελος· Εὐλογημένη σὺ ἐν γυναιξίν, Ἄξιόν ἐστι μακαρίζειν σε τὴν Θεοτόκον, τῇ σεπτῇ σου Εἰκόνι προσπίπτοντες.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(δ')

Ἐλέει καὶ οἰκτιρμοῖς...

## ΚΑΝΟΝΕΣ

Κανών α',

Ὠδὴ α', τῆς Ἑορτῆς

Ἦχος πλ. α'. Ὁ Εἱρμὸς

Τῷ Σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ λαόν, ποσὶν ἀβρόχοις ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται. (Δίς)

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἄσωμεν πάντες λαοὶ τῷ ἐπὶ ὤμων Χερουβὶμ ἀναληφθέντι, μετὰ δόξης Χριστῷ, καὶ συγκαθίσταντι ἡμᾶς ἐν δεξιᾷ τοῦ Πατρός, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων Χριστόν, χοροὶ Ἀγγέλων θεασάμενοι, μετὰ σαρκὸς ἐν ὑψίστοις ἐξεπλήττοντο· συμφώνως δὲ ἀνέμελπον, ὕμνον ἐπινίκιον.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τῷ ὀφθέντι Θεῷ, ἐπὶ τοῦ ὄρους Σινᾶ, καὶ νόμον δόντι τῷ θεόπτῃ Μωσεῖ, τῶν Ἐλαιῶν ἐκ τοῦ ὄρους ἀναληφθέντι σαρκί, αὐτῷ πάντες ᾄσωμεν, ὅτι δεδόξασται.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεοτοκίον

Ἄχραντε Μῆτερ Θεοῦ, τὸν σαρκωθέντα ἐκ σοῦ, καὶ ἐκ τῶν κόλπων τοῦ γεννήτορος μὴ ἐκφοιτήσαντα Θεόν, ἀπαύστως πρέσβευε, ἐκ πάσης περιστάσεως, σῶσαι οὓς ἔπλασεν.

Κανὼν τῆς Παναγίας Ἄξιον Ἐστί

Ἑορτῆς, Ὠδὴ α'.

Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀξίως ὑμνῆσαι οὐκ εὐπορῶ, Δέσποινα τοῦ κόσμου Παναγία Μήτηρ Θεοῦ, ἀλλ᾽ ἐπάκουσόν μου καὶ προσδέχου, τὴν ταπεινὴν καὶ θερμήν μου παράκλησιν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ξένον τὸ μυστήριον τὸ ἐν σοί, Μῆτερ καὶ Παρθένε ἡ τεκοῦσα τὸν Λυτρωτήν, ἀλλ᾽ οἰκτήρισόν με καὶ παράσχου, ὡς ἀληθῶς πολυεύσπλαγχνος ἔλεος.

Δόξα Πατρί...

Ἵλεον γενέσθαι μοι τὸν Χριστόν, δέομαι Παρθένε καὶ προστρέχω ταῖς σαῖς εὐχαῖς, σὲ τὴν Θεοτόκον μακαρίζων, πᾶσαν δ᾽ ἐλπίδα εἰς σὲ ἀνατίθημι.

Καὶ νῦν... Θεοτοκίον

Ὁ πάντων Δεσπότης καὶ πλαστουργός, θείᾳ εὐδοκίᾳ ὁ σκηνώσας ἐν σῇ γαστρί, ἄξιόν ἐστιν σοι δι᾽ Ἀγγέλου, ὡς ἀληθῶς μακαρίζειν ἐκέλευσεν.

Κανὼν α΄, Ὠδὴ γ΄, τῆς Ἑορτῆς

Ἦχος πλ. α΄. Ὁ Εἱρμὸς

Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ, στερέωσόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου, τὴν σωτήριον Ἀνάληψιν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀνῆλθες Ζωοδότα Χριστέ, πρὸς τὸν Πατέρα καὶ ἀνύψωσας, ἡμῶν τὸ γένος φιλάνθρωπε, τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Αἱ τάξεις τῶν Ἀγγέλων Σωτήρ, βροτείαν φύσιν θεασάμεναι, συνανιοῦσάν σοι, ἀπαύστως, ἐκπληττόμεναι ἀνύμνουν σε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐξίσταντο Ἀγγέλων χοροί, Χριστὲ ὁρῶντες μετὰ σώματος, ἀναληφθέντα, καὶ ἀνύμνουν, τὴν ἁγίαν σου Ἀνάληψιν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὴν φύσιν τῶν ἀνθρώπων Χριστέ, φθορᾷ πεσοῦσαν ἐξανέστησας, καὶ τῇ ἀνόδῳ σου ὕψωσας, καὶ σαυτῷ ἡμᾶς ἐδόξασας.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. Θεοτοκίον

Ἱκέτευε ἀπαύστως Ἁγνή, τὸν προελθόντα ἐκ λαγόνων σου, ῥυσθῆναι πλάνης Διαβόλου, τοὺς ὑμνοῦντάς σε Μητέρα Θεοῦ.

Ὠδὴ γ΄. Κανὼν τῆς
Παναγίας Ἄξιον Ἐστί
Ἦχος πλ. δ΄. Οὐρανίας ἁψῖδος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ναὸς ἔμψυχος οὖσα τοῦ ἀχωρήτου Μητρόθεε, διὰ τὴν ἡμῶν σωτηρίαν ἐνανθρωπήσαντος, αὐτὸν ἱκέτευε νῦν, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ ἡμῶν εἰσάκουσον τῶν παρακλήσεων.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐπὶ γῆς ἐν ἀνθρώποις τὴν εὐδοκίαν Θεοῦ Πατρός, Ἄγγελοι ὑμνοῦσιν ὡς εἶδον Χριστοῦ τὴν

Γέννησιν, σὲ τὴν τεκοῦσαν δέ, παρακαλοῦμεν Παρθένε, σκέπε φρούρει φύλαττε νῦν τὴν ζωὴν ἡμῶν.

Δόξα Πατρὶ...

Σωτηρίαν εἰργάσω ἐν μέσῳ γῆς Κύριε, ὅθεν σὲ ὑμνοῦμεν οἱ δοῦλοί σου καὶ δοξάζομεν, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν δωρεῶν σου τυχόντες, τὴν ἀειμακάριστον σχόντες μεσίτριαν.

Καὶ νῦν... Θεοτοκίον

Τὴν ἡμῶν σωτηρίαν οἰκονομῶν ὁ Πατήρ, τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον διὰ σοῦ ἔπεμψε, σάρκα λαβεῖν ἐκ γαστρός, τῆς ἀκηράτου σου Μῆτερ, ἵνα σώσῃ ἅπαντας τοὺς ὑμνολόγους σου.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...*

Κοντάκιον

Ἦχος πλ. β΄. Αὐτόμελον

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε· Ἐγώ εἰμι μεθ΄ ὑμῶν, καὶ οὐδεὶς καθ΄ ὑμῶν.

Κάθισμα

Ἦχος β΄

Πρεσβεία θερμή...

Πρεσβείαις ταῖς σαῖς προσφεύγοντες πανάχραντε, ἐλέους πηγὴν γινώσκομεν ἐν θλίψεσι, καὶ θερμῶς αἰτούμεθα, τῷ Υἱῷ καὶ Θεῷ σου μεσίτευσον, ἐκ τῶν κινδύνων ῥύσασθαι ἡμᾶς, ὁ μόνος ὑπάρχων πολυέλεος.

Δόξα Πατρί... Καὶ νῦν...

Τῆς ἑορτῆς.

Ἦχος γ΄Τὴν ὡραιότητα

Ὁ προαιώνιος Θεὸς καὶ ἄναρχος, ἥνπερ ἀνείληφε, φύσιν ἀνθρώπειον, θεοποιήσας μυστικῶς, σήμερον ἀνελήφθη. Ἄγγελοι προτρέχοντες, Ἀποστόλοις ἐδείκνυον, τοῦτον πορευόμενον, εἰς οὐρανοὺς μετὰ δόξης πολλῆς, αὐτῷ δὲ προσκυνήσαντες ἔλεγον· Δόξα Θεῷ τῷ ἀναληφθέντι.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

*Σὺ γὰρ εἶ ὁ Βασιλεύς...*

Κοντάκιον Ἦχος δ΄

Κοντάκιον . Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον.

Ἑορτίως σήμερον, τῇ Θεοτόκῳ τὸν ὕμνον, τοῦ Ἀγγέλου ᾄσωμεν θερμῶς αὐτῇ ἐκβοῶντες· Ἄξιόν ἐστιν ἀπαύστως σὲ μακαρίζειν, ἄχραντε ἀειμακάριστε καὶ δοξάζειν, τὸν πανάγιόν σου Τόκον, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Ὁ Οἶκος

Ἄγγελος οὐρανόθεν, μοναχοῖς ἐπεφάνη, διδάξαι Θεοτόκιον ὕμνον, καὶ ἐν τῷ τόπῳ Ἄδειν παρεστώς, ὑφηγεῖται εὔηχον ᾠδήν· ἐγκώμιον θεόλεκτον προσάδων τῇ Ἀειπαρθένῳ·

Χαῖρε, ὅτι ἄξιόν ἐστι ἀνυμνεῖν σε· χαῖρε, ἣν ἀληθῶς μακαρίζειν προσήκει.

Χαῖρε, ἡ ἀειμακάριστος Μήτηρ οὖσα τοῦ Θεοῦ· χαῖρε, ὅτι παναμώμητος ἐκηρύχθης τοῦ Θεοῦ.

Χαῖρε, ὅτι τιμιωτέρα τῶν Χερουβὶμ ἀνεδείχθης· χαῖρε, ὅτι ἐνδοξοτέρα τῶν Σεραφὶμ ἐγνωρίσθης.

Χαῖρε, ἡ ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσα· χαῖρε, ἡ πνευματοφόρως ἐν γαστρὶ συλλαβοῦσα.

Χαῖρε, ὅτι δυνάμεως τοῦ Ὑψίστου ἐπλήσθης· χαῖρε, ὅτι τῇ χάριτι Παρακλήτου ἐστέφθης.

Χαῖρε, ὅτι τὰ οὐράνια ἐπαγάλλονται ἐν σοί· χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς.

Χαῖρε Νύμφη Ἀνύμφευτε.

Συναξάριον

Τῇ ΙΑ΄ τοῦ μηνός Ἰουνίου, ἀνάμνησιν τελοῦμεν τῆς ἐν Ἁγίῳ Ὄρει, ἐν τοποθεσίᾳ τῇ καλουμένῃ Ἄδειν ἀγγελικῆς παρουσίας καὶ διδαχῆς τοῦ προϋμνίου· Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν τὴν Θεοτόκον, προτασσομένου τῆς Ὠδῆς· Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Στίχοι

Ἄξιόν ἐστιν, Ἄγγελος ὑφηγεῖται,
Σεπτὴν Μητρόθεον Μαριὰμ μεγαλύνειν.
Ἐνδεκάτῃ Ἄγγελος ὑμνολόγος
παρέστη Θεοτοκίον προσθῆναι.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα.

Τῇ αὐτῇ ἡμέρᾳ, τελεῖται ἡ Σύναξις τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ Ἄδειν.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Μάρτυς Θεόπεμπτος μετὰ καὶ ἑτέρων τεσσάρων, ξίφει τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Λουκᾶ τοῦ νέου, τοῦ ἰατροῦ καὶ ὁμολογητοῦ, Ἀρχιεπισκόπου Συμφερουπόλεως καὶ Κριμαίας, τοῦ Ρώσου, ἐν ἔτει 1961 ἐν εἰρήνῃ τελειωθέντος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## ΚΑΤΑΒΑΣΙΑΙ

Ἦχος δ΄. ᾨδὴ α΄

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ. Ἐῤῥητόρευσε τὸν θεόγραφον νόμον. Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου, Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος Γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

ᾨδὴ γ΄

Ἐῤῥηξε γαστρὸς ἠτεκνωμένης ἔδας, Ὕβριν τε δυσκάθεκτον εὐτεκνουμέ-νης, Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι Ἄννης, φερούσης πνεῦμα συντετριμμένον, Πρὸς τὸν δυνάστην, καὶ Θεὸν τῶν γνώσεων.

ᾨδὴ δ΄

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἵου μόνος, Λόγος προελθών, Πατρὸς ἐξ ἀναιτίου. Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις, Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης, ἌΙδουσι, Δόξα τῷ κράτει σου, Κύριε.

ᾨδὴ ε΄

Λυτήριον κάθαρσιν ἀμπλακημάτων, Πυρίπνοον δέξασθε Πνεύμα-τος δρόσον, Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας, Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος, Ἡ γλωσσοπυρσό-μορφος Πνεύματος χάρις.

ᾨδὴ ς΄

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία, Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου, Ἵν, ὡς Προφήτην θηρὸς ἐκ θαλατίου, Στέρνων Ἰωνᾶν, τῆς

φθορᾶς διαρπάσης, Ὅλον τὸν Ἀδάμ, παγγενῆ πεπτωκότα.

ᾠδὴ ζ΄

Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος, Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας. Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις, Σεβασμιάζει τοῦ βοᾶν, Τριὰς μόνη, Ἰσοσθενής, ἄναρχος, εὐλογητὸς εἶ.

ᾠδὴ η΄

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον

Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα, Ὁ τρισσοφεγγὴς τῆς θεαρχίας τύπος, Ὑμνοῦσι Παῖδες, εὐλογεῖ δὲ τὸν μόνον, Σωτῆρα καὶ παντουργόν, ὡς εὐεργέτην, Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ ( Ἦχος δ΄ )

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία

Ὠδὴ θ΄. Ἦχος δ΄

Χαίροις Ἄνασσα, μητροπάρθενον κλέος· Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως,ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκονΝοεῖν· ὅθεν σε συμφώνως δοξάζομεν.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἐξαποστειλάριον

Τῆς Παναγίας Ἄξιον Ἐστί.

Ἦχος γ΄ Ὁ οὐρανὸν τοῖς ἄστροις.

Πρὸς Μαριὰμ ἀπεστάλη, παρὰ Θεοῦ ὁ Γαβριήλ, εὐαγγελίσασθαι ταύτῃ, ὡς εὗρε χάριν παρ᾽ αὐτῷ, κυοφορῆσαι ἀφράστως, Χριστὸν Σωτῆρα τοῦ κόσμου.

Ἐξαποστειλάριον τῆς Ἀναλήψεως

Ἦχος β΄. Αὐτόμελον

Τῶν Μαθητῶν ὁρώντων σε ἀνελήφθης, Χριστὲ πρὸς τὸν Πατέρα συνεδριάζων, Ἄγγελοι προτρέχοντες ἐκραύγαζον· Ἄρατε πύλας ἄρατε· ὁ Βασιλεὺς γὰρ ἀνῆλθε, πρὸς τήν ἀρχίφωτον δόξαν.

ΑΙΝΟΙ . Ἦχος δ'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Προσόμοια τῆς Παναγίας Ἄξιον Ἐστί.
Ἦχος δ'
Ἔδωκας σημείωσιν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἔχοντες μεσίτριαν, τὴν Παναγίαν Μητέρα σου, ὑπερύμνητε Κύριε, Θεόλεκτον Ἄνασσαν, Δέσποιναν τοῦ κόσμου, σοὶ παρεστηκυῖαν καὶ αἰτουμένη δι' ἡμᾶς, τὴν θείαν χάριν καὶ μέγα ἔλεος, αὐτὴν ἀεὶ δοξάζομεν, καὶ εὐλαβῶς μακαρίζομεν, παναμώμητον ἄχραντον, τῶν ψυχῶν ἡμῶν πρέσβειραν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἄσπιλε ἀμόλυντε, ἄφθορε ἄχραντε Δέσποινα, Θεοτόκε πανύμνητε, ἑόρτιον πρόσδεξαι, παρ' ἡμῶν τὸν ὕμνον, ἄξιόν ἐστιν σοι ὡς ἀληθῶς Θεοῦ Μητρί, τὸ μεγαλύνειν καὶ μακαρίζειν σε, διὸ ἀεὶ δοξάζομεν, καὶ ἱκεσίαν ποιούμεθα, σαῖς πρεσβείαις πρὸς Κύριον, τῶν σῶν δούλων μνημόνευε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἔδωκας Φιλάνθρωπε, τοῖς σοῖς οἰκέταις βοήθειαν, ἐν ἀνάγκαις καὶ θλίψεσιν, Μητέρα Θεόνυμφον, σοῦ τοῦ σαρκωθέντος, Θεοῦ τοῦ Ὑψίστου, εἰς ἀναγέννησιν βροτῶν, καὶ ἀπολύτρωσιν τῇ σῇ χάριτι, αὐτὴν ἀεὶ δοξάζομεν, ὡς ἀληθῶς μακαρίζοντες, καὶ πιστῶς προσκυνοῦμέν σε, τὸν Σωτῆρα καὶ Κύριον.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἄξιον καὶ δίκαιον, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, τῶν Ἀγγέλων τὰ τάγματα, ἀνθρώπων συστήματα καὶ πᾶσα ἡ κτίσις, ὕμνον σοι προσφέρειν, τῇ πλατυτέρᾳ οὐρανῶν, καὶ Θεοῦ Λόγου Μητρὶ πανάχραντε, διὸ ἐν ἐκκλησίᾳ σε, ἀξιοχρέως δοξάζομεν, ἐπὶ σοὶ χαίρειν ψάλλοντες, Ὀρθοδόξων τὸ πλήρωμα.

Δόξα Πατρί... Ἦχος πλ. β'

Σήμερον ἐπέλαμψεν ἡμέρα εὐφρόσυνος, ἐπὶ λαμπρᾷ Συνάξει τῆς Παναγίας Παρθένου· Ἄγγελος γὰρ ἐξ οὐρανοῦ, ἐν φερωνύμῳ τόπῳ ἐπιστάς, ὕμνον αὐτῇ καινὸν Ἄδειν ἐξηρεύξατο· Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε, τὴν ἀειμακάριστον καὶ παναμώμητον Μητέρα τοῦ Θεοῦ ἡμῶν. Ἣν καὶ ἡμεῖς,

Χερουβὶμ καὶ Σεραφὶμ ὑπερτέραν γινώσκοντες, λόγον ἀγαθὸν προσειπόντες, μεγαλύνομεν.

Καὶ νῦν...

Ἦχος πλ. α΄

Κύριε, ἀναλαμβανομένου σου· ὅθεν οὐκ ἐχωρίσθης, αἱ στρατιαὶ τῶν Ἀγγέλων, καὶ πάντων τῶν Ἀσωμάτων, ἐν ἀγαλλιάσει ἐβόων, ταῖς ἀνωτέραις δυνάμεσιν· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης· ὁ γὰρ θρόνος ὁ χερουβικὸς ἀνέλαβέ σε μετὰ σαρκός· Κύριε, δόξα σοι.

Δοξολογία Μεγάλη.

Ἦχος πλ. β΄

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,
Ἅγιος Ἰσχυρός,
Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Παρθένε Θεοτόκε τοῦ κόσμου προστασία, καὶ χριστιανῶν ὀρθοδόξων, μεσίτρια καὶ σκέπη, προσδέχου τὴν δέησιν ἡμῶν, καὶ ταύτην προσάγαγε Χριστῷ, τῷ Υἱῷ σου καὶ Σωτῆρι ἡμῶν Θεῷ. Ὢ Ἄξιόν ἐστι ψάλλειν· δόξα τῷ ἐν Εἰκόνι τῇ σεπτῇ, ὡς βρέφος ἐν δεξιᾷ τῆς Μητρός, προσκυνουμένῳ καὶ εὐλογοῦντι ἡμᾶς.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΑΝΤΙΦΩΝΑ

τῆς ἑορτῆς τῆς Ἀναλήψεως

Ἀντίφωνον Α΄. Ἦχος β΄.

Στίχ. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Ὑπέταξας λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ΄ ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ΄ ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. Ὅτι Ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ΄ ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Δόξα Πατρὶ...Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἀπολυτίκιον. Ἦχος δ΄.

Στίχ. α΄. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

Στίχ. β΄. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

Στίχ. γ΄. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

Μικρὰ Εἴσοδος. Εἰσοδικὸν

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ΄ ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

Ἀπολυτίκιον

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Παρθένε Θεοτόκε τοῦ κόσμου προστασία, καὶ χριστιανῶν ὀρθοδόξων, μεσίτρια καὶ σκέπη, προσδέχου τὴν δέησιν ἡμῶν, καὶ ταύτην προσάγαγε Χριστῷ, τῷ Υἱῷ σου καὶ Σωτῆρι ἡμῶν Θεῷ. Ὢ Ἄξιόν ἐστι ψάλλειν· δόξα τῷ ἐν Εἰκόνι τῇ σεπτῇ, ὡς βρέφος ἐν δεξιᾷ τῆς Μητρός, προσκυνουμένῳ καὶ εὐλογοῦντι ἡμᾶς..

Ἕτερον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὠδήν σου μιμούμενοι ἀγαλλιῶμεν φαιδρῶς, καὶ σὲ μεγαλύνομεν Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ἡμεῖς οἱ ἀνάξιοι, ὅθεν σὺν τῷ Ἀγγέλῳ, Θεοτόκιον ὕμνον, ψάλλομεν ἐκ βαθέων, μακαρίζειν μαθόντες, ὡς Ἄξιόν ἐστι ἀειμακάριστε.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον. Αὐτόμελον.

Ἦχος πλ. β΄.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστε ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε· Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπόστολος τῆς 15-08

Προκείμενον. Ἦχος γ΄.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·

Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.

Ἀλληλούϊα (γ). Ἦχος πλ. δ΄.

Στίχ. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

Μετὰ τὴν θείαν κοινωνίαν

Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος δ΄

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.